## LXII.

**Посланіе константинопольскаго патріарха Парѳенія къ кіев. митрополиту П. Могилѣ съ большими укоризными послѣднему за то, что онъ не только пренебрегаетъ каноническими постановленіями—ни разу не писалъ и, по обычаю, не привѣтствовалъ патріарха по его вступленіи на каѳедру, но дерзаетъ еще подчинить своей непосредственной власти Львовское Ставропигіальное (исключительно въ патріаршемъ вѣдѣніи находящее) братство,—и съ приказаніемъ митрополиту измѣнить образъ своихъ дѣйствій, подъ угрозою кары.**

*1642 г.*

Παρθένιος ἐλέῳ θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε Μητροπολῖτα Κιόβου, ὑπέρτιμε καὶ ἔξαρχε ἁπάσης τῆς μικρᾶς Ῥωσίας, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, χάρις εἴη σου τῇ ἱερότητι καὶ εἰρήνη παρὰ θεοῦ.—Τὰς κανονικὰς διατηρήσεις (ὡς οἶμαι) καὶ ἡ σὴ ἱερότης οὐκ ἀγνοεῖ, ὅτι, ἐπειδὰν οἱ κατὰ καιροὺς πατριάρχαι τοῦ οἰκουμενικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ἀναβιβάζωνται εἰς τὸν ὑψηλότατον αὐτὸν θρόνον, καὶ τοὺς οἴακας τῆς τοῦ Χριστοῦ ἀνατολικῆς ἀποστολικῆς καὶ καθολικῆς μεγάλης ἐκκλησίας ἀναδέχωνται, οὐ μόνον οἱ ὑφ᾽ αὐτὸν ὑποκείμενοι μητροπολῖται, ἀρχιεπίσκοποί τε, καὶ ἐπίσκοποι, διὰ γραμμάτων αὐτῶν, τὴν ὀφειλομένην, προσκύνησιν, ὡς εἰκὸς ἀπονέμουσιν, ἀλλὰ καὶ οἱ τέσσαρες πατριάρχαι, καὶ οἱ κατὰ μέρος ἀρχιεπίσκοποι, τὸν αὐτὸν τρόπον πράττουσι, φυλάττοντες ἀσφαλῶς τὸ χρέος τῆς ἀδελφότητος, ὁμολογοῦντες τὸν Κωνσταντινουπόλεως πρῶτον εἶναι τῇ τάξει αὐτῶν· οὕτω καὶ πρὸς ἡμᾶς ἐγένετο τῇ προσκλήσει τῆς ἱερᾶς συνόδου ἀναβιβασθέντας, θεοῦ συνεργοῦντος, εἰς τὸν ὑψηλότατον καὶ ἁγιώτατον τοῦτον οἰκουμενικὸν θρόνον τῆς Κωνσταντινουπόλεως, καὶ πάντες· πατριάρχαι, ἀρχιεπίσκοποι, μητροπολῖται καὶ ἐπίσκοποι, ἠσπάσαντο ἡμᾶς, οἱ μέν, διὰ λόγου (οἱ ἔγγιστα) οἱδὲ, διὰ γραμμάτων, πόῤῥω τυγχάνοντες, δεικνύοντες τὸ κανονικὸν αὐτῶν ὄφλημα, καὶ τὴν προσήκουσαν ἀδελφότητα καὶ ὑποταγήν, κατ᾽ οὐδὲν ἀμελήσαντες τῶν κανονικῶν διατυπώσεων, ἡ σὴ δὲ ἱερότης οὐκ οἶδ᾽ ὅπως, οὐ μόνον οὐκ ἠθέλησάς ποτε γράψαι πρὸς τὴν ἡμῶν μετριότητα, καὶ δεῖξαι τὴν ἐνοῦσαν σοι νομικὴν ὑποταγὴν καὶ εὐλάβειαν, ὡς καὶ οἱ λοιποὶ ὑποκείμενοι ἡμῖν ἀρχιερεῖς καὶ τὰ κατὰ σὲ δηλῶσαι, ἀλλὰ καὶ τὸ δὴ μέγιστον, κινούμενος δίχά τινος κανονικῆς συγχωρήσεως καὶ ἀδείας, καὶ, ὡς συνελὸν εἰπεῖν, ἐξουσίας, ἔξω παντὸς λόγου καὶ δυνάμεως, ἐλαύνεις τοὺς ἀδελφοὺς τῆς ἐν τη Λεοντοπόλει

σεβασμίας καὶ σταυροπηγιακῆς καὶ πατριαρχικῆς μονῆς τῆς κοιμήσεως τῆς ὑπεραγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ σπεύδεις τρόποις ἀλόγοις ἀποσπάσαι τῆς πατριαρχικῆς ἐξουσίας καὶ δεφενδεύσεως, καὶ κατατάξαι ἐν τῇ ἰδίᾳ δεσποτείᾳ, καὶ συναριθμῆσαι τοῖς αὐτόσε λοιποῖς μοναστηρίοις, ὅπερ ὡς ἄτοπον τυγχάνον καὶ πάντῃ παρείσακτον, καὶ ἀπᾶδον τοῖς ἱεροῖς νόμοις τε καὶ κανόσιν, ἡ μετριότης ἡμῶν, μαθοῦσα καὶ συνιοῦσα, γράφει διὰ τοῦ παρόντος, καὶ ἐντέλλεταί σοι ἐν πνεύματι ἁγίῳ συνοδικῶς, ἵνα, ὡς δίκαιον ὅλως μὴ κεκτημένη ἐν τῷ αὐτῷ ἡμετέρῳ πατριαρχικῷ σταυροπηγίῳ, τῷ παλαιγενέσι πατριαρχικοῖς κἂν συνοδικοῖς γράμμασι ἔχοντι τὴν ἐλευθερίαν πάντων καὶ ἀδουλωσίαν, καὶ αὐτονομίαν τῶν κατὰ τόπον προϊσταμένων, ἀπὸ τοῦ νῦν παύσῃς τοῦ ἐνοχλεῖν αὐτῷ, καὶ μακρὰν ἀπέχῃς τοιούτου, καὶ μηκέτι τὸ ἐντεῦθεν λόγον τινα ἐκφωνήσῃς ἐναντίον κατ᾽ αὐτοῦ, ἢ μελετήσῃς ὑποταγῆς τινος ἕνεκα. ὃ γὰρ ἂν αὐτῷ κέκτηται ἀνόσιον καὶ χρῄζόμενον κυβερνήσεως, καὶ ἐπισκέψεως, οἱ ἀδελφοὶ αὐτοῦ δηλοῦσι πρὸς τὴν ἡμῶν μετριότητα τοῦτο, ἐπὶ τῷ διορθοῦν αὐτό, καὶ διδόναι τὰ δέοντα, οὐ μόνον τῷ σταυροπηγίῳ, ἀλλὰ καὶ τῇ αὐτοῦ ἀδελφότητι. οὕτω ποίησον, ὡς γράφομεν, καὶ μὴ ἄλλως ἐξ ἅπαντος, ἵνα μὴ ἐκ δευτέρου γράμματι ἡμετέρῳ λυπήσωμέν σε τὰ μέγιστα. ἡ χάρις δὲ τοῦ θεοῦ εἴη μετὰ σοῦ. ἐν ἔτει ͵αχʹμβ.

*Примѣч.* Съ современной составленію посланія копіи, хранящейся въ архивѣ Львов. Ставропигіальнаго Института. Въ подлинникѣ между титуломъ патріарха и началомъ грамоты тѣмъ же почеркомъ обозначено: „ἴσον ἀπαράλλακτον του πατριαρχικοῦ γράμματος.“ Посланіе, какъ можно заключать изъ его содержанія, написано вслѣдствіе жалобы на П. Могилу львовскихъ братчиковъ; сохраненіемъ его копіи, безъ сомнѣнія, мы обязаны тому же обстоятельству, о которомъ упомянуто выше въ примѣч. къ документу подъ № LXVIII.

Мѣсяцъ и число составленія посланія въ копіи не обозначены; но мы полагаемъ, что дата его должна быть пріурочена *къ началу* 1642 года, по крайней мѣрѣ ко времени ранѣе мая,—нѣкоторое основаніе для каковаго предположенія даетъ сравненіе настоящей грамоты съ помѣщаемою ниже въ *прилож.* подъ № LXIII (первою).